Scholia on Aelius Aristides: Leuctric Oration III by Scholia on Aelius Aristides

3 *ΛΕΥΚΤΡΙΚΟΣ Γ΄.*

3.448,1 μεθ᾽ ὑμῶν, ὦ Ἀθηναῖοι τὸ προοίμιον ὅμοιόν ἐστι τῷ πρώτῳ λόγῳ· ἀπὸ συστάσεως καὶ τοῦτο τοῦ οἰκείου προσώπου εἴληπται· ἔστι δὲ σύντομον.

3.448,3 τὸ γὰρ ταὐτὰ συμβουλεύειν κατασκευή.

3.448,5 οὐκοῦν Λακεδαιμόνιοι μὲν εἰσβολὴ εἰς τοὺς ἀγῶνας.

3.451,1 μὴ λογιζόμενοι τοῦτο, ὅτι βελτίους ἂν— κωλύοντες μᾶλλον ἢ πορίζοντες τὸ ταύτῃ πρὸς τὸ βελτίους ἦσαν συντακτέον· εἰ ἄρα δεινὸν ἐνόμιζον οἱ ῥήτορες ἔσεσθαι τοῖς Θηβαίοις πρὸς τὴν Περσῶν βοήθειαν, βελτίους ἦσαν κωλύοντες μᾶλλον βοηθεῖν νῦν αὐτοῖς ἢ πορίζειν.

---

https://eulogikon.org/works/scholia-aelius-aristides-leuctric-oration-iii-yds-aj · eul_wid yds-aj · Diogenes Lab reading page 741c86a079ec